# ΕΠΙΣΤΟΛΗ ΤΟΥ ΙΟΥΔΑ ΚΑΘΟΛΙΚΗ

ἰούδας ἰησοῦ χριστοῦ δοῦλος ἀδελφὸς δὲ ἰακώβου τοῖς ἐν θεῷ πα- 1*
τρὶ ἠγίασμένοις καὶ ἰησοῦ χριστῷ τετηρημένοις κλητοῖς. ἔλεος ὑμῖν 2
καὶ εἰρήνη καὶ ἀγάπη πληθυνθείη. ἀγαπητοί πᾶσαν σπουδὴν ποιού- 3*
μενος γράφειν ὑμῖν περὶ τῆς κοινῆς σωτηρίας ἀνάγκην ἔσχον γράψαι
ὑμῖν παρακαλῶν ἐπαγωνίζεσθαι τῇ ἅπαξ παραδοθείσῃ τοῖς ἁγίοις πίστει.
παρεισέδυσαν γάρ τινες ἄνθρωποι οἱ πάλαι προγεγραμμένοι εἰς τοῦτο 4*
τὸ κρίμα ἀσεβεῖς τὴν τοῦ θεοῦ ἡμῶν χάριν μετατιθέντες εἰς ἀσέλγειαν
καὶ τὸν μόνον δεσπότην θεόν καὶ κύριον ἡμῶν ἰησοῦν χριστὸν ἀρνού-
μενοι. ὑπομνῆσαι δὲ ὑμᾶς βούλομαι εἰδότας ὑμᾶς ἅπαξ τοῦτο ὅτι ὁ 5*
κύριος λαὸν ἐκ γῆς αἰγύπτου σώσας τὸ δεύτερον τοὺς μὴ πιστεύσαντας
ἀπώλεσεν. ἀγγέλους τε τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν ἀρχὴν ἀλλὰ 6
ἀπολιπόντας τὸ ἴδιον οἰκητήριον εἰς κρίσιν μεγάλης ἡμέρας δεσμοῖς
ἀϊδίοις ὑπὸ ζόφον τετήρηκεν. ὡς σόδομα καὶ γόμορρα καὶ αἱ περὶ αὐ- 7*
τὰς πόλεις τὸν ὅμοιον τούτοις τρόπον ἐκπορνεύσασαι καὶ ἀπελθοῦσαι
ὀπίσω σαρκὸς ἑτέρας πρόκεινται δεῖγμα πυρὸς αἰωνίου δίκην ὑπέχου-
σαι. ὁμοίως μέντοι καὶ οὗτοι ἐνυπνιαζόμενοι σάρκα μὲν μιαίνουσιν 8
κυριότητα δὲ ἀθετοῦσιν δόξας δὲ βλασφημοῦσιν. ὁ δὲ μιχαὴλ ὁ ἀρχάγ- 9*
γελος ὅτε τῷ διαβόλῳ διακρινόμενος διελέγετο περὶ τοῦ μωσέως σώματος
οὐκ ἐτόλμησεν κρίσιν ἐπενεγκεῖν βλασφημίας ἀλ᾽λ εἶπεν ἐπιτιμήσαι σοι
κύριος. οὗτοι δὲ ὅσα μὲν οὐκ οἴδασιν βλασφημοῦσιν ὅσα δὲ φυσικῶς 10
ὡς τὰ ἄλογα ζῷα ἐπίστανται ἐν τούτοις φθείρονται. οὐαὶ αὐτοῖς ὅτι τῇ 11
ὁδῷ τοῦ κάϊν ἐπορεύθησαν καὶ τῇ πλάνῃ τοῦ βαλαὰμ μισθοῦ ἐξεχύθη-
σαν καὶ τῇ ἀντιλογίᾳ τοῦ κόρε ἀπώλοντο. οὗτοί εἰσιν ἐν ταῖς ἀγάπαις 12*

---

**1** **v.1** ιουδας ιησου χριστου δουλος αδελφος δε ιακωβου τοις εν θεω πατρι ηγαπημενοις[V] ηγιασμενοις[T,M,K] και ιησου χριστω τετηρημενοις κλητοις. **v.3** αγαπητοι πασαν σπουδην ποιουμενος γραφειν υμιν περι της κοινης ημων[V] σωτηριας αναγκην εσχον γραψαι υμιν παρακαλων επαγωνιζεσθαι τη απαξ παραδοθειση τοις αγιοις πιστει. **v.4** παρεισεδυσαν γαρ τινες ανθρωποι οι παλαι προγεγραμμενοι εις τουτο το κριμα ασεβεις την του θεου ημων χαριτα[V] χαριν[T,M,K] μετατιθεντες εις ασελγειαν και τον μονον δεσποτην θεον[T,M,K] και κυριον ημων ιησουν χριστον αρνουμενοι. **v.5** υπομνησαι δε υμας βουλομαι ειδοτας [υμας][V] παντα[V] υμας[T,M,K] απαξ[T,M,K] τουτο[T,M,K] οτι [ο][V] ο[T,M,K] κυριος απαξ[V] λαον εκ γης αιγυπτου σωσας το δευτερον τους μη πιστευσαντας απωλεσεν. **v.7** ως σοδομα και γομορρα και αι περι αυτας πολεις τον ομοιον τουτοις[T,M,K] τροπον τουτοις[V] εκπορνευσασαι και απελθουσαι οπισω σαρκος ετερας προκεινται δειγμα πυρος αιωνιου δικην υπεχουσαι. **v.9** ο δε μιχαηλ ο αρχαγγελος οτε τω διαβολω διακρινομενος διελεγετο περι του μωυσεως[V] μωσεως[T,M,K] σωματος ουκ ετολμησεν κρισιν επενεγκειν βλασφημιας αλλα[V] αλλ[T,M,K] ειπεν επιτιμησαι σοι κυριος.

ὑμῶν σπιλάδες συνευωχούμενοι ἀφόβως ἑαυτοὺς ποιμαίνοντες νεφέ-
λαι ἄνυδροι ὑπὸ ἀνέμων περιφερόμεναι δένδρα φθινοπωρινὰ ἄκαρπα
13* δὶς ἀποθανόντα ἐκριζωθέντα. κύματα ἄγρια θαλάσσης ἐπαφρίζοντα
τὰς ἑαυτῶν αἰσχύνας ἀστέρες πλανῆται οἷς ὁ ζόφος τοῦ σκότους εἰς τὸν
14* αἰῶνα τετήρηται. προεφήτευσεν δὲ καὶ τούτοις ἕβδομος ἀπὸ ἀδὰμ ἐνὼχ
15* λέγων ἰδού ἦλθεν κύριος ἐν μυριάσιν ἁγίαις αὐτοῦ. ποιῆσαι κρίσιν
κατὰ πάντων καὶ ἐξἐλέγξαι πάντας τοὺς ἀσεβεῖς αὐτῶν περὶ πάντων τῶν
ἔργων ἀσεβείας αὐτῶν ὧν ἠσέβησαν καὶ περὶ πάντων τῶν σκληρῶν ὧν
16* ἐλάλησαν κατ’ αὐτοῦ ἁμαρτωλοὶ ἀσεβεῖς. οὗτοί εἰσιν γογγυσταί μεμψί-
μοιροι κατὰ τὰς ἐπιθυμίας αὐτῶν πορευόμενοι καὶ τὸ στόμα αὐτῶν λαλεῖ
17 ὑπέρογκα θαυμάζοντες πρόσωπα ὠφελείας χάριν. ὑμεῖς δέ ἀγαπητοί
μνήσθητε τῶν ῥημάτων τῶν προειρημένων ὑπὸ τῶν ἀποστόλων τοῦ κυ-
18* ρίου ἡμῶν ἰησοῦ χριστοῦ. ὅτι ἔλεγον ὑμῖν ὅτι ἐν ἐσχάτῳ χρόνῳ ἔσονται
19* ἐμπαῖκται κατὰ τὰς ἑαυτῶν ἐπιθυμίας πορευόμενοι τῶν ἀσεβειῶν. οὗτοί
20* εἰσιν οἱ ἀποδιορίζοντες ψυχικοί πνεῦμα μὴ ἔχοντες. ὑμεῖς δέ ἀγαπητοί
τῇ ἁγιωτάτῃ ὑμῶν πίστει ἐποικοδομοῦντες ἑαυτοὺς ἐν πνεύματι ἁγίῳ
21 προσευχόμενοι. ἑαυτοὺς ἐν ἀγάπῃ θεοῦ τηρήσατε προσδεχόμενοι τὸ
22* ἔλεος τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ εἰς ζωὴν αἰώνιον. καὶ οὓς μὲν
23* ἐλεεῖτε διακρινομένοι. οὓς δὲ ἐν φόβῳ σῴζετε ἐκ τοῦ πυρὸς ἁρπά-
24* ζοντες μισοῦντες καὶ τὸν ἀπὸ τῆς σαρκὸς ἐσπιλωμένον χιτῶνα. τῷ δὲ
δυναμένῳ φυλάξαι αὐτούς ἀπταίστους καὶ στῆσαι κατενώπιον τῆς δόξης
25* αὐτοῦ ἀμώμους ἐν ἀγαλλιάσει. μόνῳ σοφῷ θεῷ σωτῆρι ἡμῶν δόξα καὶ

---

**v.12** ουτοι εισιν οι[V] εν ταις αγαπαις υμων σπιλαδες συνευωχουμενοι υμιν[K] αφοβως εαυτους ποιμαινοντες νεφελαι ανυδροι υπο ανεμων παραφερομεναι[M,V] περιφερομεναι[T,K] δενδρα φθινοπωρινα ακαρπα δις αποθανοντα εκριζωθεντα. **v.13** κυματα αγρια θαλασσης επαφριζοντα τας εαυτων αισχυνας αστερες πλανηται οις ο ζοφος του σκοτους εις τον[T,K] αιωνα τετηρηται. **v.14** προεφητευσεν δε και τουτοις εβδομος απο αδαμ ενωχ λεγων ιδου ηλθεν κυριος εν μυριασιν[T,K] αγιαις μυριασιν[M,V] αυτου. **v.15** ποιησαι κρισιν κατα παντων και ελεγξαι[M,V] εξελεγξαι[T,K] παντας[T,M,K] τους[T,M,K] ασεβεις[T,M,K] αυτων[T,M,K] πασαν[V] ψυχην[V] περι παντων των εργων ασεβειας αυτων ων ησεβησαν και περι παντων των σκληρων ων ελαλησαν κατ αυτου αμαρτωλοι ασεβεις. **v.16** ουτοι εισιν γογγυσται μεμψιμοιροι κατα τας επιθυμιας εαυτων[V] αυτων[T,M,K] πορευομενοι και το στομα αυτων λαλει υπερογκα θαυμαζοντες προσωπα ωφελειας χαριν. **v.18** οτι ελεγον υμιν [οτι][V] επ[V] εσχατου[V] [του][V] χρονου[V] οτι[T,M,K] εν[T,M,K] εσχατω[T,M,K] χρονω[T,M,K] εσονται εμπαικται κατα τας εαυτων επιθυμιας πορευομενοι των ασεβειων. **v.19** ουτοι εισιν οι αποδιοριζοντες εαυτους[K] ψυχικοι πνευμα μη εχοντες. **v.20** υμεις δε αγαπητοι εποικοδομουντες[V] εαυτους[V] τη αγιωτατη υμων πιστει εποικοδομουντες[T,M,K] εαυτους[T,M,K] εν πνευματι αγιω προσευχομενοι. **v.22** και ους μεν ελεατε[V] ελεειτε[T,M,K] διακρινομενους[V] διακρινομενοι[T,M,K]. **v.23** ους δε εν[T,M,K] φοβω[T,M,K] σωζετε εκ του[T,K] πυρος αρπαζοντες ους[V] δε[V] ελεατε[V] εν[V] φοβω[V] μισουντες και τον απο της σαρκος εσπιλωμενον χιτωνα. **v.24** τω δε δυναμενω φυλαξαι υμας[K,V] αυτους[T,M] απταιστους και στησαι κατενωπιον της δοξης αυτου αμωμους εν αγαλλιασει. **v.25** μονω σοφω[T,M,K] θεω σωτηρι ημων δια[V] ιησου[V] χριστου[V] του[V] κυριου[V] ημων[V] δοξα και[T,M,K] μεγαλωσυνη κρατος και εξουσια προ[V] παντος[V] του[V] αιωνος[V] και νυν και εις παντας τους αιωνας αμην.

μεγαλωσύνη κράτος καὶ ἐξουσία καὶ νῦν καὶ εἰς πάντας τοὺς αἰῶνας ἀμήν.